ΣΗΜΕΙΩΣΙΣ. Ὁ λόγος οὗτος ἐτυπώθη ἐν τῇ Τυπογραφίᾳ τοῦ Πατριάρχου Ἱεροσολύμων.

(138) — Λόγος πανηγυρικὸς εἰς τὴν ἔνδοξον μετάστασιν τῆς Ἀειπαρθένου Θεομήτορος· συντεθεὶς παρὰ Στεφάνῳ Μπραγκοβάνῳ· τῇ δὲ Γαληνοτάτῃ καὶ φιλοχρίστῳ αὐτοῦ μητρὶ κυρίᾳ κυρίᾳ Δόμνᾳ Μαρίᾳ, ὡς υἱϊκῆς εὐλαβείας ἐνέχυρον ταπεινῶς ἀφιερωθείς. Ἐν Βουκουρεστίῳ παρ' Ἀνθίμῳ ἱερομονάχῳ τῷ ἐξ Ἰβηρίας.αψγ'. εἰς 8ον.

(139) — Ἡ Καινὴ Διαθήκη τοῦ Κυρίου καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, μεταφρασθεῖσα πρὸ χρόνων ἱκανῶν εἰς πεζὴν φράσιν διὰ τὴν κοινὴν ὠφέλειαν τῶν Χριστιανῶν παρὰ τοῦ ἐν Ἱερομονάχοις Μαξίμου τοῦ Καλλιουπολίτου, καὶ νῦν τυπωθεῖσα διορθώσει Σεραφείμ, ἱερομονάχου τοῦ Μιτυληναίου. Ἐν Λονδίνῳ τῆς Βρετανίας, ἐν ἔτει σωτηρίῳ αψγ'. παρὰ Βενιαμὴν Μοτταίῳ. εἰς 8ον.

ΣΗΜΕΙΩΣΙΣ. Ἐν τῇ παρούσῃ ἐκδόσει ἐτυπώθη μόνον ἡ μετάφρασις ἄνευ τοῦ κειμένου. Ἴδε περὶ τῆς Α'. ἐκδόσεως καὶ τοῦ μεταφραστοῦ Μαξίμου Καλλιουπολίτου τὸν ἀριθμόν (74).

(140) — Δογματικὴ Διδασκαλία τῆς ἁγιωτάτης ἀνατολικῆς καὶ καθολικῆς Ἐκκλησίας, περιέχουσα κατ' ἐξαίρετον λόγον τρία τινά· πρῶτον, πότε μεταβάλλονται τὰ ἅγια εἰς σῶμα καὶ αἷμα Χριστοῦ· δεύτερον, ὅτι ἡ Θεοτόκος ὑπέκειτο τῷ προπατορικῷ ἁμαρτήματι· καὶ τρίτον, ὅτι αἱ μερίδες οὐ μεταβάλλονται εἰς σῶμα καὶ αἷμα Χριστοῦ· συντεθεῖσα παρὰ τοῦ σοφωτάτου διδασκάλου κυρίου Σεβαστοῦ Τραπεζουντίου τοῦ Κυμινήτου· ἀφιερωθεῖσα δὲ τῷ θεοστέπτῳ, ὀρθοδοξοτάτῳ, καὶ μεγίστῳ Βασιλεῖ, Πέτρῳ Ἀλεξιάδῃ, καὶ Αὐτοκράτορι πάσης μεγάλης, μικρᾶς, καὶ λευκῆς Ῥωσίας, καὶ ἑτέρων πολλῶν μερῶν, ἀνατολικῶν καὶ δυτικῶν, πατρικῷ καὶ προπατορικῷ κληρονόμῳ· καὶ νῦν τὸ πρῶτον τύποις ἐκδοθεῖσα, ἀναλώμασι τοῦ εὐγενεστάτου καὶ λογιωτάτου ἄρχοντος Ποστελ-